UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XVIII. Quinam ad nos pervenerint Justini libri.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

τὸ διδασκάλιον τῆς θείας ἀρετῆς ὡμολόγησεν. ὁ γὰρ ἀρνούμενος ὅτι οὐκ εἴη, ἢ καταγνωκὼς τοῦ πράγματος ἔξαρνος γίνεται. ἢ ἑαυτὸν ἀνάξιον ἐπιστάμενος καὶ ἀλλότριον τοῦ πράγματος, τὴν ὁμολογίαν φεύγει. ὧν οὐδὲν πρόσεστι τῷ ἀληθινῷ χριστιανῷ. καὶ τοῦ Οὐρβικίου κελεύσαντος αὐτὸν ἀπαχθῆναι, Λούκιός τις καὶ αὐτὸς ὢν χριστιανὸς, ὁρῶν τὴν ἀλόγως οὕτως γινομένην κρίσιν, πρὸς τὸν Οὐρβίκιον ἔφη· τίς ἡ αἰτία τοῦ μήτε μοιχὸν, μήτε πορνὸν μήτε ἀνδροφόνον μήτε λωποδύτην μήτε ἅρπαγα μήτε ἁπλῶς ἀδίκημά τι πράξαντα ἐλεγχόμενον, ὀνόματος δὲ χριστιανοῦ προσωνυμίαν ὁμολογοῦντα τὸν ἄνθρωπον τοῦτον ἐκολάσω; οὐ πρέποντα εὐσεβεῖ αὐτοκράτορι, οὐδὲ φιλοσόφῳ Καίσαρος παιδὶ, οὐδὲ ἱερᾷ συγκλήτῳ κρίνεις ὦ Οὐρβίκιε. καὶ ὃς οὐδὲν ἄλλο ἀποκρινάμενος, καὶ πρὸς τὸν Λούκιον ἔφη· δοκεῖς μοι καὶ σὺ εἶναι τοιοῦτος. καὶ τοῦ Λουκίου φήσαντος μάλιστα, πάλιν καὶ αὐτὸν ἀπαχθῆναι ἐκέλευσεν. ὁ δὲ χάριν εἰδέναι ὡμολόγει· πονηρῶν γὰρ δεσποτῶν τῶν τοιούτων ἀπηλλάχθαι ἐπεῖπε, καὶ παρὰ ἀγαθὸν πατέρα καὶ βασιλέα τὸν Θεὸν πορεύεσθαι. καὶ ἄλλος δὲ τρίτος ἐπελθὼν, κολασθῆναι προσετιμήθη. τούτοις ὁ Ἰουστῖνος εἰκότως καὶ ἀκολούθως ἃς προεμνημονεύσαμεν αὐτοῦ φωνὰς ἐπάγει λέγων. κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι, καὶ τὰ λοιπά.

A esse intelligeret, illam cælestis ac divinæ virtutis institutionem iterum confessus est. Qui enim negat se esse Christianum, vel idcircò negat quòd religionem illam improbet, vel certè eo quod se indignum & alienum ab ejus instituto esse cognoscit. Quorum neutrum cadere potest in eum qui verè Christianus sit. Cùm verò Urbicius Ptolemæum ad supplicium duci jussisset, Lucius quidam qui & ipse Christianus erat, adeo injustam audiens sententiam, sic Urbicium allocutus est: Quid causæ est, inquit, ut hominem neque adulterii, neque stupri convictum, nec B homicidam, nec furem, nec raptorem: nec ullius denique sceleris reum, nominis duntaxat Christiani vocabulum confitentem condemnaveris? Hujusmodi forma judicii non convenit temporibus Imperatoris Pii, nec Philosophi Cæsaris filii, nec Senatui Romano. Tùm Urbicius nullo alio responso hominem dignatus, sic eum alloquitur: Tu quoque, inquit, Christianus esse mihi videris. Cumque Lucius ita esse respondisset, jussus est itidem ad supplicium duci. Statimque magnam se gra- C tiam Urbicio debere professus est, quippe qui hujusmodi malis dominis liberatus, ut ajebat, ad optimum Patrem Regemque esset migraturus. Sed & tertius quidam cùm accessisset, eodem supplicio condemnatus est. Deinde Justinus aptè & consequenter ea verba subjungit quæ superius memoravimus: Ego etiam, inquit, exspecto dum ab aliquo eorum qui Philosophi appellantur, insidiis appetar, & cetera.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

*Τίνες εἰς ἡμᾶς ἦλθον τῶν Ἰουστίνου λόγων.*

Πλεῖστα δὲ οὗτος καταλέλοιπεν ἡμῖν πεπαιδευμένης διανοίας καὶ περὶ τὰ θεῖα ἐσπουδακυίας ὑπομνήματα, πάσης ὠφελείας ἔμπλεα· ἐφ᾽ ἃ τοὺς φιλομαθεῖς ἀναπέμψομεν, τὰ εἰς ἡμετέραν γνῶσιν ἐλθόντα χρησίμως παρασημειωσάμενοι. ὁ μέν τις ἐστὶν αὐτῷ λόγος πρὸς Ἀντωνῖνον τὸν εὐσεβῆ προσαγορευθέντα καὶ τοὺς τούτου παῖδας τήν τε Ῥωμαίων σύγκλητον προσφωνητικὸς, ὑπὲρ τῶν καθ᾽ ἡμᾶς δογμάτων· ὁ δὲ δευτέραν περιέχων ὑπὲρ τῆς ἡμετέρας πίστεως ἀπολογίαν, ἣν πεποίηται πρὸς τὸν τοῦ δεδηλωμένου αὐτο-

## Caput XVIII.

*Quinam ad nos pervenerint Iustini libri.*

Hic porrò vir plurima ingenii sui doctrinæque & intenti in res di- D vinas studii monumenta nobis reliquit, plena multiplicis utilitatis. Ex quibus ea quæ ad notitiam nostram pervenerunt, titulis suis designasse contenti, discendi studiosos ad illa rejiciemus. Primum igitur locum inter ejus libros obtinet oratio ad Antoninum cognomento Pium, & ad ejus liberos Senatumque Romanum pro religione nostra conscripta. Altera verò ejusdem oratio defensionem similiter fidei nostræ continens, Antonino Vero nuncupata est, Imperatoris supradicti successori & cognomini, cujus

Huc refer Niceph. c. 6. l. 4.



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

tempora in præsentiarum exponimus. Est & alius ejus liber adversus Gentiles, in quo cùm de aliis plurimis quæstionibus, quæ tam à nostris quàm à Gentilium Philosophis agitari solent, uberrimè disputat; tùm de Dæmonum natura sententiam suam exponit: quam quidem hîc inserere nihil necesse est. Alius prætereà ejusdem liber adversus Gentiles ad nos pervenit, quem ille confutationem inscripsit. Præter hos libros est etiam alius de Monarchia Dei, quam quidem non solùm auctoritate sacrorum apud nos Voluminum, sed Gentilium etiam Scriptorum testimoniis asserit. Est & alius liber cui titulum fecit Psaltes. Alius item excerptorum liber de anima, in quo propositis variis interrogationibus quæ ad argumentum illud pertinent, Gentilium Philosophorum affert sententias: quibus etiam se contradicturum, suamque de his sententiam in alio opere prolaturum esse pollicetur. Composuit etiam dialogum adversus Judæos, quem apud Ephesum habuit cum Tryphone omnium tunc temporis Judæorum celeberrimo. Quo in libro ingenuè testatur, quemadmodum per divinam gratiam ad veræ fidei doctrinam impulsus sit; & quàm cõtento prius studio in Philosophiam incubuisset, quantoque animi ardore in veritate pervestiganda laboravisset. Refert etiam Judæos adversus Christi doctrinam multa insidiosè ac fraudulenter machinatos fuisse, hujusmodi ad Tryphonem verbis utens: Tantùm abest, inquit, ut vos eorum quæ impiè gesseratis, pœnituerit. Quinimò quosdam ad id lectos homines in omnes orbis partes emisistis, qui dicerent sectam impiorum Christianorum exortam esse, eaque adversus nos probra divulgarent, quæ effutire solent ii qui res nostras penitus ignorant. Adeò non solùm vobis ipsis, sed cunctis, ut ita dicam, hominibus erroris atque injustitiæ causam præbetis. Sed & in eodem libro, prophetiæ dona adhuc sua ætate in Ecclesia viguisse scribit. Joannis quoque Revelationem commemorat, quam ab Apostolo conscriptam esse disertè dicit. Quædam item Prophetarum testimonia profert, quæ adversus Tryphonem disputans, à Judæis è sacris libris recisa atque expuncta esse convincit. Exstant & alia complura ejusdem opuscula penes multos fidei nostræ cultores. Tanti

A κράτορος διάδοχόν τε καὶ ὁμώνυμον Ἀντωνῖνον Οὐῆρον, ἐς τὰ κατὰ τοὺς χρόνους ἐπὶ τοῦ παρόντος διέξιμεν. καὶ ἄλλος ὁ πρὸς Ἕλληνας, ἐν ᾧ μακρὸν περὶ πλείστων παρ' ἡμῖν τε καὶ τοῖς Ἑλλήνων φιλοσόφοις ζητουμένων καταθεὶς λόγον, περὶ τῆς τῶν δαιμόνων διαλαμβάνει φύσεως· ἃ οὐδὲν ἂν ἐπείγοι ταννῦν παρατίθεσθαι. καὶ αὖθις ἕτερον πρὸς Ἕλληνας εἰς ἡμᾶς ἐλήλυθεν αὐτοῦ σύγγραμμα, ὃ καὶ ἐπέγραψεν ἔλεγχον. καὶ παρὰ τούτους ἄλλο περὶ Θεοῦ Μοναρχίας· ἣν οὐ μόνον ἐκ τῶν παρ' ἡμῖν γραφῶν, ἀλλὰ καὶ ἐκ τῶν ἑλληνικῶν συνί-
B στησι βιβλίων. ἐπὶ τούτοις ἐπιγεγραμμένον Ψάλτης· καὶ ἄλλο σχολικὸν περὶ ψυχῆς. ἐν ᾧ διαφόρους πεύσεις προτείνας περὶ τοῦ κατὰ τὴν ὑπόθεσιν προβλήματος, τῶν παρ' Ἕλλησι φιλοσόφων παρατίθεται τὰς δόξας· αἷς καὶ ἀντιλέξειν ὑπισχνεῖται, τήν τε αὐτὸς αὑτοῦ δόξαν ἐν ἑτέρῳ παραθήσεσθαι συγγράμματι. καὶ διάλογον δὲ πρὸς Ἰουδαίους συνέταξεν, ὃν ἐπὶ τῆς Ἐφεσίων πόλεως πρὸς Τρύφωνα τῶν τότε Ἑβραίων ἐπισημότατον πεποίηται· ἐν ᾧ τίνα τρόπον ἡ θεία χάρις αὐτὸν ἐπὶ τὸν τῆς πίστεως παρώρμησε λόγον, δηλοῖ. ὁ-
C ποίαν τε πρότερον περὶ τὰ φιλόσοφα μαθήματα σπουδὴν εἰσενήνεκται, καὶ ὅσην ἐποιήσατο τῆς ἀληθείας ἐκθυμοτάτην ζήτησιν. ἱστορεῖ δ' ἐν ταυτῷ περὶ Ἰουδαίων, ὡς κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐπιβουλὴν συσκευασαμένων, αὐτὰ ταῦτα πρὸς τὸν Τρύφωνα ἀποτεινόμενος· οὐ μόνον δὲ οὐ μετενοήσατε ἐφ' οἷς ἐπράξατε κακῶς, ἀλλὰ ἄνδρας ἐκλεκτοὺς ἐκλεξάμενοι τότε ἀπὸ Ἱερουσαλὴμ, ἐξεπέμψατε εἰς πᾶσαν τὴν γῆν λέγοντες, αἵρεσιν ἄθεον χριστιανῶν πεφάνθαι. καταλέγοντές
D τε ταῦτα, ἅπερ καθ' ἡμῶν οἱ ἀγνοοῦντες ἡμᾶς ἅπαντες λέγουσιν. ὥστε οὐ μόνον ἑαυτοῖς ἀδικίας αἴτιοι ὑπάρχετε, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἁπλῶς ἀνθρώποις. γράφει δὲ καὶ ὡς ὅτι μέχρι καὶ αὐτοῦ χαρίσματα προφητικὰ διέλαμπεν ἐπὶ τῆς ἐκκλησίας. μέμνηται δὲ καὶ τῆς Ἰωάννου Ἀποκαλύψεως, σαφῶς τοῦ Ἀποστόλου αὐτὴν εἶναι λέγων. καὶ ῥητῶν δέ τινων Προφητικῶν μνημονεύει, διελέγχων τὸν Τρύφωνα, ὡς ἂν περικοψάντων αὐτὰ Ἰουδαίων ἀπὸ τῆς γραφῆς. πλεῖστα δὲ καὶ ἕτερα παρὰ πολλοῖς φέρεται ἀδελφοῖς τῶν αὐτοῦ

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

πόνων. οὑτωσὶ δὲ σπουδῆς εἶναι ἄξιοι καὶ τοῖς παλαιοῖς ἐδόκουν οἱ τἀνδρὸς λόγοι, ὡς τὸν Εἰρηναῖον ἀπομνημονεύειν αὐτοῦ φωνάς. τοῦτο μὲν ἐν τῷ τετάρτῳ πρὸς τὰς αἱρέσεις αὐτὰ δὴ ταῦτα ἐπιλέγοντα. καὶ καλῶς Ἰουστῖνος ἐν τῷ πρὸς Μαρκίωνα συντάγματί φησιν. ὅτι αὐτῷ τῷ Κυρίῳ οὐδ' ἂν ἐπείσθην, ἄλλον Θεὸν καταγγέλλοντι παρὰ τὸν δημιουργόν· τοῦτο δὲ ἐν τῷ πέμπτῳ τῆς αὐτῆς ὑποθέσεως διὰ τούτων· καὶ καλῶς ὁ Ἰουστῖνος ἔφη, ὅτι πρὸ μὲν τῆς τοῦ Κυρίου παρουσίας οὐδέποτε ἐτόλμησεν ὁ Σατανᾶς βλασφημῆσαι τὸν Θεόν, ἅτε μηδέπω εἰδὼς αὐτοῦ τὴν κατάκρισιν. καὶ ταῦτα δὲ ἀναγκαίως εἰρήσθω, εἰς προτροπὴν τοῦ μετὰ σπουδῆς τοὺς φιλομαθεῖς καὶ τοὺς τούτου περιέπειν λόγους. καὶ τὰ μὲν κατὰ τόνδε τοιαῦτα ἦν.

A porrò æstimati sunt etiam à Veteribus illius libri, ut Irenæus ejus testimoniis interdum utatur. Nam & in libro quarto contra hæreses hæc habet: Præclarè, inquit, à Justino dictum est in libro adversus Marcionem: Ne ipsi quidem Domino, ait, crediturus essem, si alium Deum prædicaret quàm mundi conditorem. Et in quinto ejusdem operis libro; Rectè, inquit, Justinus dixit, Satanam ante adventum Domini nunquam ausum fuisse impiè loqui adversus Deum, quippe qui damnationem suam nondum liquidò
B cognovisset. Atque hæc necessariò à nobis dicta sint, ut discendi studiosi ad libros ejus accuratè pervolvendos incitentur. Hactenus de Justino.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Τίνες ἐπὶ τῆς Οὐήρου βασιλείας, τῆς Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησίας προέστησαν.

Ἤδη δὲ εἰς ὄγδοον ἐλαύνουσης ἔτος τῆς δηλουμένης ἡγεμονίας, τῆς Ῥωμαίων ἐκκλησίας τὸν Ἐπισκοπὴν Ἀνίκητον ἕνδεκα τοῖς πᾶσιν ἔτεσι διελθόντα, Σωτὴρ διαδέχεται. ἀλλὰ καὶ τῆς Ἀλεξανδρέων παροικίας Κελαδίωνος τέτταρσιν ἐπὶ δέκα ἔτεσι προστάντος, τὴν διαδοχὴν Ἀγριππῖνος διαλαμβάνει.

## Caput XIX.

*Quinam imperante Vero Ecclesiæ Romanæ & Alexandrinæ præfuerint.*

Porrò supradicto Imperatore jam octavum Principatus annum agente, cùm Anicetus ecclesiæ Romanæ episcopatum undecim annis obtinuis- (Vide Nicephor. l. 4. c. 19.)
C set, Soter in ejus locum successit. Apud Alexandriam quoque cùm Celadion per annos quatuordecim ecclesiæ præfuisset, Agrippinus sedem ejus obtinuit.

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

Τίνες τῆς Ἀντιοχέων.

Τηνικαῦτα καὶ ἐπὶ τῆς Ἀντιοχέων ἐκκλησίας Θεόφιλος ἕκτος ἀπὸ τῶν Ἀποστόλων ἐγνωρίζετο. τετάρτου μὲν τῶν ἐκεῖσε μετὰ Ἥρωνα καταστάντος Κορνηλίου. μετὰ δὲ αὐτόν, πέμπτῳ βαθμῷ τὴν Ἐπισκοπὴν Ἔρωτος διαδεξαμένου.

## Caput XX.

*Quinam eo tempore Antiochenam Ecclesiam rexerint.*

Antiochenæ verò ecclesiæ episcopatum sextus ab Apostolis Theophilus gubernabat. Quippe Cornelius Heronis successor, quartus ab Aposto- (Vide Niceph. l. 4. c. 19.)
D lis eidem ecclesiæ præsederat. Quem deinde excipiens Eros, quinto ab Apostolis loco eandem ecclesiam rexit.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῶν κατὰ τούτους διαλαμψάντων ἐκκλησιαστικῶν συγγραφέων.

Ἤκμαζον δὲ ἐν τούτοις ἐπὶ τῆς ἐκκλησίας, Ἡγήσιππός τε ὃν ἴσμεν ἐκ τῶν προτέρων, καὶ Διονύσιος Κορινθίων Ἐπίσκοπος, Πινυτός τε ἄλλος τῶν ἐπὶ Κρήτης Ἐπίσκοπος. Φίλιππός τε ἐπὶ τούτοις καὶ Ἀπολινάριος καὶ Μελίτων, Μουσανός τε καὶ Μόδεστος καὶ ἐπὶ πᾶσιν

## Caput XXI.

*De Scriptoribus Ecclesiasticis qui eadem ætate floruerunt.*

Iisdem temporibus in ecclesia floruit Hegesippus, de quo in superioribus libris abundè jam dixi: & Dionysius Corinthiorum episcopus: Pinytus quoque Cretensium episcopus; Philippus prætereà & Apollinaris ac Melito: Musanus etiam & Modestus, ac po- (Vide Nicephor. l. 4. c. 19.)